ἀλλότρια μεριμνῶν. ὁ δὲ ξάνθος ζητῶν ἀφορμὴν τοῦ μαστιγῶσαι τὸν αἴσωπον, λέγει, δραπέτα, ἐπεὶ περίεργον εἶπας τὸν φίλον, δεῖξόν μοι ἀπερίεργον ἄνθρωπον. ὁ δὲ ἔφη, δέσποτα, ὅσοι πολλοὶ τὰ οἰκεῖα τρώγοντες καὶ πίνοντες, καὶ τὰ ἴδια μεριμνῶντες, ἔνιοι δὲ τῶν ἀνθρώπων τὰ ἴδια οὐ μνημονεύοντες, τὰ ἀλλότρια περιεργάζονται. ξάνθος εἶπεν ἕτερον δεῖπνον ἑτοιμάσω. σὺ δὲ πορευθεὶς κάλει μοι ἄνθρωπον ἀπερίεργον, ἵνα ὃ ἐὰν ἴδῃ ἢ ἀκούσῃ, μὴ περιεργάσηται. ὁ δὲ αἴσωπος ἐλθὼν εἰς τὴν ἀγοράν, εὗρε γινομένην μάχην καὶ ὄχλον πολὺν συνεστῶτα. ἕνα δὲ παρ' ἑνὸς μέρους αὐτῶν καθεζόμενον καὶ ἀναγινώσκοντα, αἴσωπος καθ' ἑαυτὸν φησί, τοῦτον καλέσω, ἀπερίεργος φαίνεται, καὶ μενῶ ἀ-